πιστὴ ξύνευνος, ναυτίλων δὲ σελμάτων
ἰσοτριβής. ἄτιμα δ᾽ οὐκ ἐπραξάτην·
ὁ μὲν γὰρ οὕτως, ἣ δέ τοι κύκνου δίκην
τὸν ὕστατον μέλψασα θανάσιμον γόον
κεῖται φιλήτωρ τοῦδ᾽, ἐμοὶ δ᾽ ἐπήγαγεν
εὐνῆς παροψώνημα τῆς ἐμῆς χλιδῆς.

str. 1. ΧΟ. φεῦ, τίς ἂν ἐν τάχει,
μὴ περιώδυνος,
μηδὲ δεμνιοτήρης,
μόλοι τὸν αἰεὶ φέρουσ᾽ ἐν ἡμῖν
Μοῖρ᾽ ἀτέλευτον ὕπνον, δαμέντος
φύλακος εὐμενεστάτου καὶ
πολλὰ τλάντος γυναικὸς διαί·
πρὸς γυναικὸς δ᾽ ἀπέφθισεν βίον.

(Dux chori)

ἰὼ [ἰὼ] παράνους Ἑλένα,
μία τὰς πολλάς, τὰς πάνυ πολλὰς
ψυχὰς ὀλέσασ᾽ ὑπὸ Τροίᾳ.

(Chorus)

νῦν δὲ τελείαν
πολύμναστον ἐπηνθίσω δι᾽ αἷμ᾽ ἄνιπτον,
ἥτις ἦν τότ᾽ ἐν δόμοις
ἔρις ἐρίδματος ἀνδρὸς οἰζύς.

ΚΛ. μηδὲν θανάτου μοῖραν ἐπεύχου
τοῖσδε βαρυνθείς·
μηδ᾽ εἰς Ἑλένην κότον ἐκτρέψῃς,
ὡς ἀνδρολέτειρ᾽, ὡς μία πολλῶν
ἀνδρῶν ψυχὰς Δαναῶν ὀλέσασ᾽
ἀξύστατον ἄλγος ἔπραξε.

1400. ἐκ ψυχῆς φιλουμένη τῷ Ἀγαμέμνονι. 1401. τὴν ἐκ περιουσίας τρυφήν.

---

1397. ἰσοτριβής Pauwius: ἱστοτρίβης libri. 1400. φιλήτωσ a. 1401. θοίνης Karstenus. παροψώνημα Casaubonus: παροψόνημα libri. 1405. ἐφ᾽ Hermannus. 1408. πολέα Wieselerus. 1410. ἰὼ alterum addidit Blomfieldus. παράνους Hermannus: παρανόμους libri. 1419. ἐκτρέχησ a. 1421. ὀλέσασ᾽ Triclinius: ὀλέσαν ab.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG